# Week 6 Homer, *Iliad* I.33-51; Hesiod, *Theogony* 535-557; Hesiod *Works and Days* 320-340; Homer, *Odyssey* xiv.418-436; Isaeus 8.15-16; Orphic Hymn 17 to Poseidon; Orphic Hymn 3 to Night; PGM I 262-347; III 494-611; IV 2241-2358

## Homer, *Iliad* I.33-52

*Ὣς ἔφατ᾽, ἔδεισεν δ᾽ ὃ γέρων καὶ ἐπείθετο μύθῳ·*
*βῆ δ᾽ ἀκέων παρὰ θῖνα πολυφλοίσβοιο θαλάσσης·*
*πολλὰ δ᾽ ἔπειτ᾽ ἀπάνευθε κιὼν ἠρᾶθ᾽ ὃ γεραιὸς*
*Ἀπόλλωνι ἄνακτι, τὸν ἠΰκομος τέκε Λητώ·*
*κλῦθί μευ ἀργυρότοξ᾽, ὃς Χρύσην ἀμφιβέβηκας*
*Κίλλάν τε ζαθέην Τενέδοιό τε ἶφι ἀνάσσεις,*
*Σμινθεῦ εἴ ποτέ τοι χαρίεντ᾽ ἐπὶ νηὸν ἔρεψα,*
*ἢ εἰ δή ποτέ τοι κατὰ πίονα μηρί᾽ ἔκηα*
*ταύρων ἠδ᾽ αἰγῶν, τὸ δέ μοι κρήηνον ἐέλδωρ·*
{2≯}2 *τίσειαν Δαναοὶ ἐμὰ δάκρυα σοῖσι βέλεσσιν.*
*Ὣς ἔφατ᾽ εὐχόμενος, τοῦ δ᾽ ἔκλυε Φοῖβος Ἀπόλλων,*
*βῆ δὲ κατ᾽ Οὐλύμποιο καρήνων χωόμενος κῆρ,*
*τόξ᾽ ὤμοισιν ἔχων ἀμφηρεφέα τε φαρέτρην·*
*ἔκλαγξαν δ᾽ ἄρ᾽ ὀϊστοὶ ἐπ᾽ ὤμων χωομένοιο,*
*αὐτοῦ κινηθέντος· ὃ δ᾽ ἤϊε νυκτὶ ἐοικώς.*
*ἕζετ᾽ ἔπειτ᾽ ἀπάνευθε νεῶν, μετὰ δ᾽ ἰὸν ἕηκε·*
*δεινὴ δὲ κλαγγὴ γένετ᾽ ἀργυρέοιο βιοῖο·*
*οὐρῆας μὲν πρῶτον ἐπῴχετο καὶ κύνας ἀργούς,*
*αὐτὰρ ἔπειτ᾽ αὐτοῖσι βέλος ἐχεπευκὲς ἐφιεὶς*
*βάλλ᾽· αἰεὶ δὲ πυραὶ νεκύων καίοντο θαμειαί.*

## Hesiod, *Theogony* 535-557

*καὶ γὰρ ὅτ᾽ ἐκρίνοντο θεοὶ θνητοί τ᾽ ἄνθρωποι*
*Μηκώνῃ, τότ᾽ ἔπειτα μέγαν βοῦν πρόφρονι θυμῷ*
*δασσάμενος προύθηκε, Διὸς νόον ἐξαπαφίσκων.*
*τῷ μὲν γὰρ σάρκάς τε καὶ ἔγκατα πίονα δημῷ*
*ἐν ῥινῷ κατέθηκε, καλύψας γαστρὶ βοείῃ,*
*τοῖς δ᾽ αὖτ᾽ ὀστέα λευκὰ βοὸς δολίῃ ἐπὶ τέχνῃ*
*εὐθετίσας κατέθηκε, καλύψας ἀργέτι δημῷ.*
*δὴ τότε μιν προσέειπε πατὴρ ἀνδρῶν τε θεῶν τε·*
*“Ἰαπετιονίδη, πάντων ἀριδείκετ᾽ ἀνάκτων,*
*ὦ πέπον, ὡς ἑτεροζήλως διεδάσσαο μοίρας.”*
*ὣς φάτο κερτομέων Ζεὺς ἄφθιτα μήδεα εἰδώς·*
*τὸν δ᾽ αὖτε προσέειπε Προμηθεὺς ἀγκυλομήτης,*
*ἦκ᾽ ἐπιμειδήσας, δολίης δ᾽ οὐ λήθετο τέχνης·*
*“Ζεῦ κύδιστε μέγιστε θεῶν αἰειγενετάων,*
*τῶν δ᾽ ἕλευ ὁπποτέρην σε ἐνὶ φρεσὶ θυμὸς ἀνώγει.”*
*φῆ ῥα δολοφρονέων· Ζεὺς δ᾽ ἄφθιτα μήδεα εἰδὼς*
*γνῶ ῥ᾽ οὐδ᾽ ἠγνοίησε δόλον· κακὰ δ᾽ ὄσσετο θυμῷ*
*θνητοῖς ἀνθρώποισι, τὰ καὶ τελέεσθαι ἔμελλε.*
*χερσὶ δ᾽ ὅ γ᾽ ἀμφοτέρῃσιν ἀνείλετο λευκὸν ἄλειφαρ,*
*χώσατο δὲ φρένας ἀμφί, χόλος δέ μιν ἵκετο θυμόν,*
*ὡς ἴδεν ὀστέα λευκὰ βοὸς δολίῃ ἐπὶ τέχνῃ.*
*ἐκ τοῦ δ᾽ ἀθανάτοισιν ἐπὶ χθονὶ φῦλ᾽ ἀνθρώπων*
*καίουσ᾽ ὀστέα λευκὰ θυηέντων ἐπὶ βωμῶν.*

## Hesiod *Works and Days* 320-340

*χρήματα δ’ οὐχ ἁρπακτά, θεόσδοτα πολλὸν ἀμείνω·*
*εἰ γάρ τις καὶ χερσὶ βίῃ μέγαν ὄλβον ἕληται,*
*ἢ ὅ γ’ ἀπὸ γλώσσης ληίσσεται, οἷά τε πολλὰ*
*γίνεται, εὖτ’ ἂν δὴ κέρδος νόον ἐξαπατήσῃ*
*ἀνθρώπων, αἰδῶ δέ τ’ ἀναιδείη κατοπάζῃ,*
*ῥεῖα δέ μιν μαυροῦσι θεοί, μινύθουσι δὲ οἶκον*
*ἀνέρι τῷ, παῦρον δέ τ’ ἐπὶ χρόνον ὄλβος ὀπηδεῖ.*
*Ἶσον δ’ ὅς θ’ ἱκέτην ὅς τε ξεῖνον κακὸν ἔρξει,*
*ὅς τε κασιγνήτοιο ἑοῦ ἀνὰ δέμνια βαίνῃ*
[*κρυπταδίῃς εὐνῆς ἀλόχου, παρακαίρια ῥέζων*],
*ὅς τέ τευ ἀφραδίῃς ἀλιταίνητ’ ὀρφανὰ τέκνα,*
*ὅς τε γονῆα γέροντα κακῷ ἐπὶ γήραος οὐδῷ*
*νεικείῃ χαλεποῖσι καθαπτόμενος ἐπέεσσι·*
*τῷ δ’ ἦ τοι Ζεὺς αὐτὸς ἀγαίεται, ἐς δὲ τελευτὴν*
*ἔργων ἀντ’ ἀδίκων χαλεπὴν ἐπέθηκεν ἀμοιβήν.*
*ἀλλὰ σὺ τῶν μὲν πάμπαν ἔεργ’ ἀεσίφρονα θυμόν.*
*Κὰδ δύναμιν δ’ ἔρδειν ἱέρ’ ἀθανάτοισι θεοῖσιν*
*ἁγνῶς καὶ καθαρῶς, ἐπὶ δ’ ἀγλαὰ μηρία καίειν·*
*ἄλλοτε δὲ σπονδῇσι θύεσσί τε ἱλάσκεσθαι,*
*ἠμὲν ὅτ’ εὐνάζῃ καὶ ὅτ’ ἂν φάος ἱερὸν ἔλθῃ,*
*ὥς κέ τοι ἵλαον κραδίην καὶ θυμὸν ἔχωσιν,*
*ὄφρ’ ἄλλων ὠνῇ κλῆρον, μὴ τὸν τεὸν ἄλλος.*

## Homer, *Odyssey* xiv.418-436

*ὣς ἄρα φωνήσας κέασε ξύλα νηλέϊ χαλκῷ·*
*οἳ δ’ ὗν εἰσῆγον μάλα πίονα πενταέτηρον.*
*τὸν μὲν ἔπειτ’ ἔστησαν ἐπ’ ἐσχάρῃ· οὐδὲ συβώτης*
*λήθετ’ ἄρ’ ἀθανάτων· φρεσὶ γὰρ κέχρητ’ ἀγαθῇσιν·*
*ἀλλ’ ὅ γ’ ἀπαρχόμενος κεφαλῆς τρίχας ἐν πυρὶ βάλλεν*
*ἀργιόδοντος ὑὸς καὶ ἐπεύχετο πᾶσι θεοῖσι*
*νοστῆσαι Ὀδυσῆα πολύφρονα ὅνδε δόμονδε.*
*κόψε δ’ ἀνασχόμενος σχίζῃ δρυός, ἣν λίπε κείων·*
*τὸν δ’ ἔλιπε ψυχή. τοὶ δ’ ἔσφαξάν τε καὶ εὗσαν,*
*αἶψα δέ μιν διέχευαν· ὁ δ’ ὠμοθετεῖτο συβώτης,*
*πάντων ἀρχόμενος μελέων, ἐς πίονα δημόν.*
*καὶ τὰ μὲν ἐν πυρὶ βάλλε, παλύνας ἀλφίτου ἀκτῇ,*
*μίστυλλόν τ’ ἄρα τἆλλα καὶ ἀμφ’ ὀβελοῖσιν ἔπειρον*
*ὤπτησάν τε περιφραδέως ἐρύσαντό τε πάντα,*
*βάλλον δ’ εἰν ἐλεοῖσιν ἀολλέα. ἂν δὲ συβώτης*
*ἵστατο δαιτρεύσων· περὶ γὰρ φρεσὶν αἴσιμα ᾔδη.*
*καὶ τὰ μὲν ἕπταχα πάντα διεμμοιρᾶτο δαΐζων·*
*τὴν μὲν ἴαν Νύμφῃσι καὶ Ἑρμῇ, Μαιάδος υἷι,*
*θῆκεν ἐπευξάμενος, τὰς δ’ ἄλλας νεῖμεν ἑκάστῳ·*

Isaeus 8.15-16

(15.) *Ἡμεῖς τοίνυν καὶ ἄλλα τεκμήρια πρὸς τούτοις ἔχομεν εἰπεῖν, [ἵνα γνώσεσθε] ὅτι ἐκ θυγατρὸς ἡμεῖς Κίρωνός ἐσμεν. Οἷα γὰρ εἰκὸς παίδων [υἱέων] <ὄντων> ἐξ ἑαυτοῦ θυγατρός, οὐδεπώποτε θυσίαν ἄνευ ἡμῶν οὐδεμίαν ἐποίησεν, ἀλλ' εἴτε μικρὰ εἴτε μεγάλα θύοι, πανταχοῦ παρῆμεν ἡμεῖς καὶ συνεθύομεν. Καὶ οὐ μόνον εἰς τὰ τοιαῦτα παρεκαλούμεθα, ἀλλὰ καὶ εἰς Διονύσια εἰς ἀγρὸν ἦγεν ἀεὶ ἡμᾶς,* (16.) *καὶ μετ' ἐκείνου τε ἐθεωροῦμεν καθήμενοι παρ' αὐτὸν καὶ τὰς ἑορτὰς ἤγομεν παρ' ἐκεῖνον πάσας· τῷ Διί τε θύων τῷ Κτησίῳ, περὶ ἣν μάλιστ' ἐκεῖνος θυσίαν ἐσπούδαζε καὶ οὔτε δούλους προσῆγεν οὔτε ἐλευθέρους ὀθνείους, ἀλλ' αὐτὸς δι' ἑαυτοῦ πάντ' ἐποίει, ταύτης ἡμεῖς ἐκοινωνοῦμεν καὶ τὰ ἱερὰ συνεχειρουργοῦμεν καὶ συνεπετίθεμεν καὶ τἆλλα συνεποιοῦμεν, καὶ ηὔχετο ἡμῖν ὑγίειαν διδόναι καὶ κτῆσιν ἀγαθήν, ὥσπερ εἰκὸς ὄντα πάππον.*

Orphic Hymn 17 to Poseidon

(17.) *Ποσειδῶνος, θυμίαμα σμύρναν.* (t)
*Κλῦθι, Ποσείδαον γαιήοχε, κυανοχαῖτα,*
*ἵππιε, χαλκοτόρευτον ἔχων χείρεσσι τρίαιναν,*
*ὃς ναίεις πόντοιο βαθυστέρνοιο θέμεθλα,*
*ποντομέδων, ἁλίδουπε, βαρύκτυπε, ἐννοσίγαιε,*
*κυμοθαλής, χαριδῶτα, τετράορον ἅρμα διώκων,*
*εἰναλίοις ῥοίζοισι τινάσσων ἁλμυρὸν ὕδωρ,*
*ὃς τριτάτης ἔλαχες μοίρης βαθὺ χεῦμα θαλάσσης,*
*κύμασι τερπόμενος θηρσίν θ' ἅμα, πόντιε δαῖμον·*
*ἕδρανα γῆς σώζοις καὶ νηῶν εὔδρομον ὁρμήν,*
*εἰρήνην, ὑγίειαν ἄγων ἠδ' ὄλβον ἀμεμφῆ.*

Orphic Hymn 3 to Night

(3.) *Νυκτός, θυμίαμα δαλούς.* (t)
*Νύκτα θεῶν γενέτειραν ἀείσομαι ἠδὲ καὶ ἀνδρῶν.*
*{Νὺξ γένεσις πάντων, ἣν καὶ Κύπριν καλέσωμεν}*
*κλῦθι, μάκαιρα θεά, κυαναυγής, ἀστεροφεγγής,*
*ἡσυχίηι χαίρουσα καὶ ἠρεμίηι πολυύπνωι,*
*εὐφροσύνη, τερπνή, φιλοπάννυχε, μῆτερ ὀνείρων,*
*ληθομέριμν' † ἀγαθή τε † πόνων ἀνάπαυσιν ἔχουσα,*
*ὑπνοδότειρα, φίλη πάντων, ἐλάσιππε, † νυχαυγής,*
*ἡμιτελής, χθονία ἠδ' οὐρανία πάλιν αὐτή,*
*ἐγκυκλία, παίκτειρα διώγμασιν ἠεροφοίτοις,*
*ἣ φάος ἐκπέμπεις ὑπὸ νέρτερα καὶ πάλι φεύγεις*
*εἰς Ἀίδην· δεινὴ γὰρ ἀνάγκη πάντα κρατύνει.*
*νῦν σε, μάκαιρα, <καλ>ῶ, πολυόλβιε, πᾶσι ποθεινή,*
*εὐάντητε, κλύουσα ἱκετηρίδα φωνὴν*
*ἔλθοις εὐμενέουσα, φόβους δ' ἀπόπεμπε νυχαυγεῖς.*

## I 262-347

*Ἀπολλωνιακὴ ἐπίκλησις·*

*λαβὼν κλῶνα δάφν[ης] ἑπτάφυλλον ἔχε ἐν τῇ δεξ[ιᾷ] χειρὶ καλῶν τοὺς οὐρανίους θεοὺς καὶ χθονίους δαίμον[ας]. γράψον εἰς τὸν κλῶνα τῆς δάφνης τοὺς ζʹ ῥυστικοὺς χ[α]ρακτῆρας. εἰσὶν οἱ χαρακτῆρες οἵδε·*

{{}}

*τὸν μὲν πρῶτον χαρακτῆρα εἰς τὸ πρῶτον φύλλον, τὸν [δε]ύτερον πάλιν οὕτως εἰς τὸ δεύτερον, ἄχρι λήξεως τῶν ζʹ φύλλων καὶ τῶν ζʹ χαρακτήρων. βλέπε δέ, μὴ ἀπολέσῃς φύλλον [καὶ] σεαυτὸν βλάψῃς· τοῦτο γὰρ μέγιστον σώματος φυλακτικόν, ἐν ᾧ πάντες ὑποτάσσονται καὶ θάλασσα καὶ πέτραι φρίσσουσι καὶ δαίμονες φυλ<άσσονται χαρ>ακτήρων τὴν θείαν ἐνέργειαν, ἥνπερ μέλλεις ἔχειν. ἔστιν γὰρ φυλακτήριον μέγιστον τῆς πράξεως, ἵνα μηδὲν πτοηθῇς. ἔστιν δὲ ἡ πρᾶξις·*

*λαβὼν λύχνον ἀμίλτωτον σκεύασον διὰ βυσσίνου ῥάκους καὶ ῥοδίνου ἐλαίου ἢ ναρδίνου καὶ στολίσας σεαυτὸν προφητικῷ σχήματι ἔχε ἐβεννίνην ῥάβδον ἐν τῇ λαιᾷ χειρὶ καὶ τὸ φυλακτήριον ἐν τῇ δεξιᾷ, τουτέστιν τὸν κλῶνα τῆς δάφνης, ἔχε δὲ ἐν ἑτοίμῳ λύκου κεφαλήν, ὅπως ἂν ἐπιθῇς τὸν λύχνον ἐπὶ τῆς κεφαλῆς τοῦ λύκου, καὶ βωμὸν ὠμὸν στησάμενος ἐγγὺς τῆς κεφαλῆς καὶ τοῦ λύχνου, ἵνα ἐπιθύσῃς τῷ θεῷ· καὶ εὐθέως εἰσέρχεται τὸ θεῖον πνεῦμα. ἔστιν δὲ τὸ ἐπίθυμα λύκου ὀφθαλμός, στύραξ, κιννάμωμον, βδέλλα καὶ ὅτι ἔντιμον ἐν τοῖς ἀρώμασι, καὶ σπονδὴν τέλεσον ἀπὸ οἴνου καὶ μέλ[ι]τος καὶ γάλακτος καὶ ὀμβρίου ὕδατος <καὶ ποί>ει πλακοῦντας ζʹ καὶ πόπανα ζʹ. ταῦτα μέλλεις ὅλα ποιῆσαι [ἐγ]γ̣ὺ̣ς τοῦ λύχνου, ἐστολισμένος καὶ ἀπεχόμενος ἀπὸ πάντων μυσαρῶν πραγμάτων καὶ πάσης ἰχθυοφαγίας καὶ πάσης συνουσίας, ὅπως ἂν εἰς μεγίστην ἐπιθυμίαν ἀγάγῃς τὸν θεὸν εἰς σέ. ἔστιν δὲ τὰ ὀνόματα, <ἃ> μέλλεις γράψαι εἰς τὸ βύσσινον ῥάκος καὶ ἐλλυχνιάσεις εἰς τὸν ἀμίλτωτον λύχνον· ‘αβεραμενθωουλερθεξ αναξ εθρενλυοω θνεμα ραιβαι· αεμινναε βαρωθερ ρεθωβαβ εανιμεα.’ ὅταν τελέσῃς πάντα τὰ προειρημένα, κάλει τῇ ἐπαοιδῇ· ‘Ἄναξ Ἀπόλλων, ἐλθὲ σὺν Παιήονι, χρημάτισόν μοι, περὶ ὧν ἀξιῶ, κύριε. δέσποτα,*

*λίπε Παρνάσιον ὄρος καὶ Δελφίδα Πυθὼ*
*ἡμετέρων ἱερῶν στομάτων ἄφθεγκτα λαλούντων,*
*ἄγγελε πρῶτε <θε>οῦ, Ζηνὸς μεγάλοιο, Ἰάω, καὶ σὲ τὸν οὐράνιον κόσμον κατέχοντα, Μιχαήλ, καὶ σὲ καλῶ, Γαβριὴλ πρωτάγγελε· δεῦρ᾽ ἀπ᾽ Ὀλύμπου, Ἀβρασάξ, ἀντολίῃς κεχαρημένος, ἵλαος ἔλθοις, ὃς δύσιν ἀντολίηθεν ἐπισκοπιάζει[ς, Ἀ]δωναί·*
*πᾶσα φύσις τρομ[έ]ει σε, πάτερ κό[σ]μοιο, Πακερβηθ.*
*ὁρκίζω κεφαλήν τε θεοῦ, ὅπερ ἐστὶν Ὄλυμπος,*
*ὁρκίζω σφραγῖδα θεοῦ, ὅπερ ἐστὶν ὅρασις,*
*ὁρκίζω χέρα δεξιτερήν, ἣν κόσμῳ ἐπέσχες,*
*ὁρκίζω κρητῆρα θεοῦ πλοῦτον κατέχοντα,*
*ὁρκίζω θεὸν αἰώνιον Αἰῶνά τε πάντων,*
*ὁρκίζω Φύσιν αὐτοφυῆ, κράτιστον Ἀδωναῖον,*
*ὁρκίζω δύνοντα καὶ ἀντέλλοντα Ἐλωαῖον,*
*ὁρκίζω τὰ ἅγια καὶ θεῖα ὀνόματα ταῦτα, ὅπως*
*ἂν πέμψωσί μοι τὸ θεῖον πνεῦμα καὶ τελέσῃ,*

*ἃ ἔχω κατὰ φρένα καὶ κατὰ θυμόν.*
*κλῦθι, μάκαρ, κλῄζω σε, τὸν οὐρανοῦ ἡγεμονῆα*
*καὶ γαίης, χάεός τε καὶ Ἄϊδος, ἔνθα νέμονται ...*
*πέμψον δαίμονα τοῦτον ἐμαῖς ἱεραῖς ἐπαοιδαῖς*
*νυκτὸς ἐλαυνόμενον προστάγμασιν σῆς ὑπ' ἀνάγκης,*
*οὗπερ ἀπὸ σκήνους ἐστὶ τόδε, καὶ φρασάτω μοι,*
*ὅσσα θέλω γνώμῃσιν, ἀληθείην καταλέξας,*
*πρηΰν, μειλίχιον μηδ' ἀντία μοι φρονέοντα.*
*μηδὲ σὺ μηνίσῃς ἐπ' ἐμαῖς ἱεραῖς ἐπαοιδαῖς,*
*ἀλλὰ φύλαξον ἅπαν δέμας ἄρτιον ἐς φάος ἐλθεῖν·*
*ταῦτα γὰρ αὐτὸς ἔταξας ἐν ἀνθρώποισι δαῆναι.*
*κλῄζω δ' οὔνομα σὸν Μοίραις αὐταῖς ἰσάριθμον·*
*αχαϊφω θωθω αϊη ϊαηϊα αϊη αϊη ϊαω*
*θωθω φιαχα.' καὶ ὅταν εἰσέλθῃ, ἐρώτα αὐτόν,*
*περὶ οὗ θέλεις, περὶ μαντείας, περὶ ἐποποιίας,*
*περὶ ὀνειροπομπείας, περὶ ὀνειραιτησίας, περὶ*
*ὀνειροκριτίας, περὶ κατακλίσεως, περὶ πάντων,*
*ὅ[σ]ων ἐστὶν ἐν τῇ μαγικῇ ἐμπει[ρίᾳ].*
*στρῶσον δὲ θρόνον καὶ κλ[ι]ντήριο[ν δ]ιὰ βυσσίνω[ν],*
*σὺ δὲ στάθητι θύων διὰ τοῦ προειρημένου ἐπι-*
*θ[ύ]ματος. καὶ μετὰ τὴν ἐξ[έ]τασιν ἐὰν θέλῃς*
*ἀπολῦσαι αὐτὸν τὸν θεόν, τὴν προειρημένην*
*ἐ[β]εννίνην ῥάβδον, ἣν ἔχεις χειρὶ ἐν τῇ*
*λαιᾷ, μετένεγκον εἰς τὴν δεξιὰν καὶ τὸν κλῶν-*
*α τῆς δάφνης, ὃν ἔχεις ἐν τῇ δεξιᾷ χειρί,*
*μετένεγκον εἰς τὴν ἀριστεράν, καὶ σβέσον*
*τὸν καιόμενον λύχνον καὶ χρῶ τοῦ αὐτοῦ*
*ἐπιθύματος λέγων ὅτι· 'ἵλαθί μοι, προπάτωρ,*
*προγενέστερε, αὐτογένεθλε· ὁρκίζω τὸ πῦρ*
*τὸ φανὲν πρῶτον ἐν ἀβύσσῳ,*
*ὁρκίζω τὴν σὴν δύναμιν, τὴν πᾶσι μεγίστην,*
*ὁρκίζω τὸν φθείροντα μέχρις Ἄϊδος εἴσω,*
*ἵνα ἀπέλθῃς εἰς τὰ ἴδια πρυμνήσια καὶ μή*
*με βλάψῃς, ἀλλ' εὐμενὴς γενοῦ διὰ παντός.'*

## III 494-611

*[Σύστασις πρ]ὸς Ἥλιον. περὶ πά[σης πρ]άξ[ε]ως καὶ περ[ὶ π]άṇ[τω-]*
*ν ποί[ησις], περὶ ὧν ἐὰν θέ[λῃ]ς, οὕτως ἐπικαλοῦ·*
*'[δεῦ]ρο, δ[ε]ῦρό μοι ἐκ τῶν τεσσάρων ἀνέμων τοῦ κόσμου,*
*ἀεροδρόμο[ν] μέγαν θεόν, ἐπάκουσόν μου ἐν παντὶ ᾧ*
*[ἐπιτελῶ] πράγματι καὶ ποίησον πάντα τὰ τῆς εὐ-*
*χῆς μ[ου ἐντε]ḷέστατα, ὅτι οἶδά σου τὰ σημεῖα καὶ τὰ*
*[π]αράσ[ημα καὶ μ]ορφὰς καὶ καθ' ὥραν τίς εἶ καὶ τί σου ὄνο-*
*μα· ὥρᾳ πρώτῃ μορφὴν ἔχεις καὶ τύπον παιδὸς πιθήκου·*
*γεννᾷς δ[ένδρο]ν ἐλάτην, λίθον ἄφανον, ὄρνεον*
*ε....αενο.....ạ, ὄνομά σοι φρουερ· ὥρᾳ δευτέρᾳ μορφὴν*
*ἔχεις μονοκέρου, γεννᾷς δένδρον περσέαν, λίθον*
*κεραμίτην, ὄρνεον ἁλούχακον, ἐπὶ γῆς ἰχνεύμονα,*
*ὄνομά σοι βαζητοφωθ· ὥρᾳ τρίτῃ μορφὴν ἔχεις*
*αἰλούρου, γεννᾷς δένδρον σύκων, λίθον σαμοῦχον,*
*ὄρνεον ψ[ί]ττακον, ἐπὶ γῆς βάτραχον, ὄνομά σοι Ἀκραμμαχαμαρει·*
*ὥρᾳ τετ[άρ]τῃ μορφὴν ἔχεις ταύρου, γεννᾷς δένδρον*

[κα]ὶ λί[θ]ον παιδέρωτα, ὄρνεον τρύγονα, ἐπὶ γῆς
ταῦρον, ὄνομά σοι Δαμναμενεύς· ὥρᾳ πέμπτῃ μορφὴν ἔχεις
λέοντος, [γε]ννᾷς δένδρον ῥάμνον, λίθον μάγνητα, <ὄρνεον .....>,
ἐπὶ γῆς κ[ρο]κόδειλον, ὄνομά σοι φωκενγεψ ευαρεταθου
μισον κ̣ταικτ/ ὥρᾳ ἕκτῃ μορφὴν ἔχεις ὄνου, δένδρον
γεννᾷς ἄκανθαν, λίθον σάπφειρον, ἐν θαλ[ά]σσῃ ὕελον,
ἐπὶ [γῆς βοῦν λευ]κομέτωπον, ὄνομά σοι ειαυ· ακρι
λ̣υξ· [... ὥρᾳ ἑβδ]όμῃ μορφὴν ἔχεις καμ[μάρου, γε]ν[νᾷς δένδρο̣ν
........... [γεν-]
νᾷς .............προ[...... λί]θον ἡλιο[πάλιο]ν,
[ὄρνεον ....]ον, ἐπὶ γῆς [αἴλ]ουρον, ὄν[ομά σοι.....]
[...... ὥρᾳ ὀγ]δόῃ μορ[φ]ὴν ἔχεις .........
[γεννᾷς δένδρον ......]α̣τορον, λ[ίθ]ον ονου ειορ..., ὄρνεον
[.... ἐπὶ γῆς] ἱπποπό[τα]μον, ὄνο[μά σοι...]
[....... ὥρ]ᾳ ἐνάτῃ μορ[φὴ]ν ἔχεις ἴβ[εως, γεννᾷς]
[δένδρον] ......., ......δ̣αλ̣σο̣ν, [λίθ]ον δοραρ.....
[......]ην ἐπὶ γ[ῆς] χα̣μαιλέ[οντα, ὄνομά]
[σοι ........] ὥρᾳ δεκ̣[άτ]η μορφὴ[ν ἔχεις .....]
[γεννᾷς δένδρον ......]ων, λίθ[ο]ν ἱερακίτη[ν, ὄρνεον]
.........αρκω̣ν...ν. κ̣έρ̣κω̣[πα.....]
................σφωτος γε.........
[]εων εχ[.......]
[................. ὥρ]ᾳ ιβ μ[ορφὴν]
[ἔχεις] ...... ὄνομά σ]οι Ἀδων[αί .....]
[κα]ὶ Γαβριὴλ αλλωεα...ουρηηδυδιε θαραβραχι-
[ρι]γξ ϊαρβαθαχραμνηφιβ[α]ωχνυμεω καμπυκριλ
.ελαμμαρη· εἴρηκά σου τὰ σ[ημ]εῖα καὶ τὰ παράσημα·
διό, κύριε, ποίησον τὸ δεῖνα πρᾶ[γμ]α ἀνάγκῃ, μὴ τὸν οὐ-
[ρ]ανὸν κινήσω, ποίησον τὸ δεῖνα [π]ρᾶγμα ἐμοί, ὁ τύπος,
[τ]ὸ σύνολον τοῦ κόσμου, ὃ<ς> κατ[α]κριθεὶς ἐφύλαξα<ς> τοῦ
μεγάλου βασιλέως ἱερόν, πο[ί]ησον τὸ δεῖνα πρᾶγμα ἐ-
μοί, τῷ κλειδοφύλακι τοῦ τρ[ι]γώνου παραδείσου τῆς
γῆς, τῆς βασιλείας, ποίησον [τ]ὸ δεῖνα πρᾶγμα ἐμοί, τῷ τῆς
χήρας ὀρφανῷ κατατετιμ̣ημένη<ς>, βωϊαθυριθ, ἵ-
να μὴ ἀφέλωσ<ί> με τὴν κυριακὴν πατρίδα καὶ πάν-
τα τὰ ἀγαθὰ ἐμπέσῃ κατ' ἐπιταγὴν φωκεν γεψευ
αρετα θουμισον κται κτ/ μασκελλι μασκελλω
φνουκενταβαω αωριω ζαγρα ῥησ<ί>χθων ἱππό-
χθων πυροσπαριπηγανυξ καιλαμ.ιαλμιω
λιλ̣ιμουληαλαβαηνερεδεμου· δεῦρό μοι ἐν
τῇ ἁγίᾳ σου περιστροφῇ τοῦ ἁγίου πνεύματος, παν-
τὸς κτίστα, θεῶν θεέ, κοίρανε παντός, διαστήσας
τὸν κόσμον τῷ σεαυτοῦ πνεύματι θε[ί]ῳ· πρῶτος
δ' ἐξεφάνης ἐκ πρωτογόνου, φὺς εὐμεθόδως,
ὕδατος βιαίου, ὁ τὰ πάντα κτίσας· ἄβυσσον, γαῖαν,
πῦρ, ὕδωρ, ἀέρα καὶ πάλιν αἶθρα καὶ ποταμοὺ<ς> κε-
λάδοντα<ς>, ὑσγηνοϊδῆ τε σελήνη<ν>, ἀστέρας ἀερίου<ς>,
ἐῴου<ς>, περιδινοπλανήτα[ς]· αὐταῖς σαῖς βουλαῖς δορυ-
φοροῦσιν ἅπαντα. σὺ ὁ παρακαλῶν .......σιν
αμοχλ....φοδοφ....μ.α̣ρφθω̣...ιβκ#82

*ψουφισ[τωμ]. οιωθ ὡφρουερ χμηιβ#82 Ἁρπ̣ο̣νκνουφι βρ[ιν]τατ[η]νω[φ]ριβρισκυλμα Ἀρουα̣ρ ζαρβαμεσε[γ]κριφινιγ̣θου μιχμουμαωφ ιαωλι πρὶν [ἀ]στράπτης αι χεα̣οκιρταβαοζαα̣λε ασρισκι..ου, βρίθε[ι] στόμα, ἄναξ. δεῦρό μοι, κύριε, ὁ ποτὲ τ[ὸ] φῶς ἀνά[γ]ων, ποτὲ τὸ σκότος κατάγων <κατὰ> τὴν σεαυτοῦ δύναμιν, ἐπάκουσόν μου, κύριε, ἐμοῦ, τοῦ δεῖνα, ἵ[λ]εως κα[ὶ ἀ]σμένως καὶ ἐπ᾽ ἀγαθῷ, ἐκ παντὸς στο[ιχε]ίου, ἐκ παντὸς ἀνέμου, ἐν τῇ σήμερον ἡμέρα̣, ἱλαρῷ [σ]ου τῷ πρ[ο]σώπῳ, τῇ ἄρτι ὥρα̣, ὅτι ἐπικαλοῦμαί σου τὸ ἅγιον ὄ[ν]ομα πάντοθεν, ὁ γεννηθεὶς ἐν παντὶ πλάσμ[α]τι ἀνθρωπίνῳ· ἐνπνε[υ]μάτισον ἡμᾶς. [ὄνο]μά σο[υ] ἐκ μὲν δεξιοῦ ἄξον[ος]· Ἰάω α[ωι] ωαι [ωυα] ωωωωωω αααααα ιυ.... .ωαι,᾽ ἐκ δ᾽ εὐωνύ[μ]ων ἄξ[ονος]· Ἰάω αυω ιωαι [π]ιπι ωωω ωω ιι αυω....ω[α] ωαι.᾽ ἐλθέ μοι [ἱ]λαρῷ τῷ πρ[ο]σώ[πῳ] ἐπ᾽ αὐτοθελ[ητῷ] κοίτῃ, διδοὺς ἐμοί, τῷ δεῖνα, ζωήν, ὑγείαν, σωτηρίαν, πλοῦτον, εὐτεκνίαν, γνῶ[σ]ιν, εὐακοΐαν, εὐμένειαν, εὐβουλίαν, εὐδοξίαν, μνήμην, χάριν, μορφήν, κάλλος πρὸς πάντας ἀνθρώπους τοὺς ὁρῶντάς με, ὁ πᾶν ὁτιοῦν ἀκο[ύ]ων μου, τῶν λόγων δὸς πεισμονήν, θεὲ μέγ[α]ς, τῷ ευαηω ιω ιαω ωαι ωιω ηαυι τας ερχις· α̣υξαχοχ Ἀρσαμῶ[σι], λίσσομαι, ἄναξ, πρόσδεξαί μου τὴν λιτανείαν, τὴν πρὸς σὲ ἀναφορὰν προστάξας· ἵνα με νῦν ἐρατῶν πρὸς σὲ τὴν γνῶσιν ἐλλυ[χνιάσ]ῃς καὶ μετὰ τὴν τοῦ ὑλικοῦ σώματος εὐμεν[ῆ ἀποκ]ατάστασιν, δέομαι, κύριε, πρόσδεξαί μου τήνδ[ε] ἀξίωσιν, <τὴν> λιτανείαν, τὴν προσύσ[τ]ασιν, τὴν ἀναφορὰν τοῦ πνεύματος τοῦ λεκτικοῦ, [ὃ κ]αὶ φθασάτω πρὸς σέ, τὸν πάντων δεσπότην, ὅπως [π]οιήσῃς πάντα τὰ τῆς εὐχῆς μου, θεῶν γενητέ. [χ]άριν σοι οἴδαμεν, ψυχῇ πάσῃ, κα[τὰ] καρδίαν πρὸς σ̣[ὲ] ἀνατεταμένην, ἄφραστον ὄνομα τετιμημένον [τῇ] τοῦ θεοῦ προσηγορία̣ καὶ εὐλογούμενον τῇ τοῦ [θε]οῦ ὁσ<ι>ό<τητι, ᾗ> πρ[ὸ]ς πάντας καὶ πρὸς πάντα πατρικὴν [εὔ]νοιαν κ[α]ὶ στοργὴν καὶ φιλίαν καὶ ἐπιγλυκυτά[τη]ν ἐνέργειαν ἐνεδείξω, χαρισάμενος ἡμῖν νοῦν, [λόγ]ον, γνῶσιν· νοῦν μέ<ν>, ἵνα σε νοήσωμεν, λόγον [δέ, ἵν]α σε ἐπικαλέσωμεν, γνῶσιν, ἵνα σε ἐπιγνώσωμεν. χαίρομ[ε]ν, ὅτι σεαυτὸν ἡμῖν ἔδειξας, χαίρομεν, ὅτι ἐν πλάσμασιν ἡμᾶς ὄντας ἀπεθέωσας τῇ σεαυτοῦ γνώσει. χάρις ἀνθρώπου πρὸς σὲ μία· τὸ μέγεθος γνωρίσαι. ἐγνωρίσαμεν, ὦ τῆς ἀνθρωπίνης ζωῆς <ζωή>, ἐγνωρίσαμεν, μήτρα πάσης γνώσεως, ἐγνωρίσαμεν, ὦ μήτρα κυηφόρε ἐν πατρὸς φυτεία̣, ἐγνω<ρί>σαμεν, ὦ πατρὸς κυηφοροῦντος αἰώνιος διαμονή· οὗ τοσοῦ<τον> ἀγαθὸν προσκυνήσαντες μ[η]δεμίαν ᾐτήσαμεν [λιτήν, πλὴ]ν θέλησον ἡμᾶς δια[τ]ηρηθῆναι ἐν τῇ σῇ γνώ[σει, τ]άδε τη[ρήσαντας] τὸ μὴ σφαλῆναι τοῦ τοιούτου [βίου] τούτου .....βλιον μετισαγω-*

*κην ἔχει πρ…πα……οικουντα θεῷ. μὴ*
[δ’] *ἐν παρέργῳ ….ον……. μετὰ ε' ἡμέρας .νιουον.’*

**IV 2241-2358**

*φρικτῆς Ἀνάγκης πάντοτέ σοι ὑπεστρωμένης.*
*δεθεῖσα τρὶς λύθητι, ἐλθέ, βρίμασον τὸν δεῖνα·*
*Κλωθὼ γὰρ ἐπικλώσει σοι λίνα. νεῦσον, μάκαιρα,*
*πρὶν στυγνήν σε καταλάβω, πρὶν τοὺς ξιφή-*
*ρεις ἀναλάβῃς σου κονδύλους, πρινή τε*
*λυσσῇς, ἰσοπάρθενος κύων. τὸ δεῖνα ποιήσεις,*
*κἂν θέλῃς κἂν μὴ θέλῃς, ὅτι οἶδά σου τὰ*
*φῶτα πρὸ<ς> στιγμῆς μέτρον καὶ τῶν κα-*
*λῶν σου μυσταγωγὸς πραγμάτων ὑπο-*
*υρ<γός> εἰμι καὶ συνίστωρ, παρθένε. τὸ δεῖ*
*γενέσθαι, τοῦτ’ οὐκ ἔξεστι φυγεῖν. τὸ δεῖν-*
*α ποι<ή>σεις, κἂν θέλῃς κἂν μὴ θέλῃς.*
*ἐνεύχομαί σοι τήνδε νύκτα κυρίαν,*
*ἐν ᾗ τὸ σὸν φῶς ὕστατον χωρίζεται, ἐν ᾗ*
*κύων κέχηνε καὶ οὐ κλείει στόμα, ἐν ᾗ*
*τὸ κλεῖθρον ἠνέῳγε Ταρτάρου, ἐν ᾗ*
*προλυσσᾷ Κέρβερος κεραύνοπλος·*
*ἔγειρε σεαυτὴν, ἡλιωτίδος τροφοῦ*
*χρῄζουσα Μήνη, νερτέρων ἐπίσκοπε,*
*ἐνεύχομαί σοι, Ξείνη τ’ Αὔγη, παρθένε,*
*ἐνεύχομαί σοι, δαιδάλη καὶπή, θοή,*
*λοφαίη, ὁλκῖτι φασγάνων, θυμάνδρεια,*
*παιωνία, προμηθική, πολυκλεί-*
*τη, νύσσα, ποδάρκη, ἀλκίμη, πορφυ-*
*ρέη, σκοτείη, Βριμώ, ἄμβροτε, ἐπή-*
*κοε, Περσία, νομαῖε, Ἀλκυόνη, χρυ-*
*σοστεφή, πρέσβειρα, φαεννώ, πε-*
*λαγίη, εἰδωλίη, ἰνδαλίμη, δείχτειρα,*
*βαριδοῦχε, εὔστοχε, αὐτοφυής, μι-*
*τρίη, ἀνδρείη, στρατηλατί, Δωδωνίη,*
*Ἰδαῖα, νεοπενθής, λυκώ, στηλῖτι,*
*οὐλοή, ἀκρίη, χαροπή, ὀξυβόη, Θα-*
*σία, Μήνη, πύματ’, ἠγκαλισμένη*
*ἀκτῖνας, ἡ σώτειρα, πανγαίη, κυνώ,*
*Κλωθαίη, πανδώτειρα, δολίχη,*
*κυδίμη, ἄνασσα, ἀρηγέ, ἀγλαή, εὐ-*
*ρύστοχε, αἰζηίη, ἁγία, ἡμέρη,*
*ἀφθίτη, λιγεῖα, λιπαροπλόκαμε,*
*θαλία, ζαθείη, χρυσῶπι, τερψίμβρο-*
*τε, Μινῴα, λοχιάς, Θηβαία, τλητή, δο-*
*λόεσσα, ἀτασθάλη, ἀκτινοχαῖτι,*
*ἰοχέαιρα, παρθένε· δόλου γέμουσαν*
*καὶ φόβου σωτηρίην ἥ σ’ οἶδα, πάντων*
*ὡς μάγων ἀρχηγέτης, Ἑρμῆς ὁ πρέ-*
*σβυς,᾿Ἴσιδος πατὴρ ἐγώ. ἄκουσον,*
*ηω Φορβα Βριμω Σαχμι· νεβουτο-*
*σουαληθ· τοῦτο γάρ σου σύμβολον, τὸ σάν-*
*δαλόν σου ἔκρυψα καὶ κλεῖδα κρατῶ. ἤνοιξα*

*ταρταρούχου κλεῖθρα Κερβέρου
καὶ νύκτα τὴν ἄωρον παρέδωκα σκότει.
ῥόμβον στρέφω σοι, κυμβάλων οὐχ ἅπτομαι,
ἄθρησον εἴς σε· Νειλωίτιδος χάριν κάτοπτρον,
ἣν ἰδοῦσα σαυτὴν, θαυμάσεις, πρὶν ἢ μέλαν
φῶς ἐκπτύσης ἀπ᾽ ὀμμάτων. ὃ δεῖ σε ποιῆ-
σαι, τοῦτο δεῖ σε μὴ φυγεῖν· τὸ δεῖ μοι ποιήσεις,
κἂν θέλης, κἂν μὴ θέλης· ἵππος, κόρη, δρά-
καινα, λαμπάς, ἀστραπή, ἀστήρ, λέων, λύ-
καινα, αηω· ηη· σκεῦος παλαιόν, κόσκι-
νόν μου σύμβολον, καὶ ψωμὸς εἷς, κόραλ-
λος, αἷμα τρυγόνος, ὄνυξ καμήλου καὶ βοὸς
θρὶξ παρθένου, Πανὸς γόνος, πῦρ ἡλιω-
τίδος βολῆς, χαμαίλυκον, νήθουσα, παι-
δέρως, ἄρις, γλαυκῆς γυναικὸς σῶμα
διεσκελισμένον, σφιγγὸς μελαίνης
ἡ φύσις τορουμένη· ἅπαντα ταῦτα
σύμβολόν μου πνεύματος. ὅλης ἀνάγ-
κης δεσμὰ συνραγήσεται, καὶ κρύψει σὸν
φῶς Ἥλιος πρὸς τὸν νότον, Τηθύς τε
τὴν σὴν κουφίσει οἰκουμένην, Αἰὼν
κραδαίνει, κινηθήσεται οὐρανός, Κρόνος
φοβηθεὶς τὸν βεβιασμένον σου νοῦν
πέφευγε εἰς Ἅιδην, νερτέρων ἐπίσκοπος.
Μοῖραί σου τὸν ἀνέκλειπτον ῥίπτουσι μίτον,
ἂν μὴ μαγείης τῆς ἐμῆς ἀναγκάσης
βέλος πετηνὸν ταχύτατον τέλος δραμεῖν.
οὐ γὰρ φυγεῖν ἔξεστι μοῖράν μου λόγων,
ὃ δεῖ γενέσθαι· μὴ σα<υ>τὴν ἀναγκάσης
ἄνωθεν εἰς ἄνω τ᾽ ἀκούειν συμβόλων.
τὸ δεῖ, ποιήσεις, κἂν θέλης κἂν μὴ θέλης·
ἀχρείου φωτὸς πρίν σε μοῖρα καταλάβῃ,
ποίησον, ὃ λέγω, ταρταροῦχε παρθένε.
ἔδησα δεσμοῖς τοῖς Κρόνου τὸν σὸν πόλον
καὶ ὀπιδνῇ ἀνάγκῃ ἀντίχειρά σου κρατῶ.
οὐ γίνεται αὔριον, εἰ μὴ γένηται, ὃ βούλομαι.
ἔνευσας Ἑρμῇ, τῷ θεῶν ἀρχηγέτῃ,
εἰς τήνδε τὴν πρᾶξιν συμβαλεῖν· σ᾽ ἦ μὴν ἔχω.
ἄκουσον, ἡ θεωροῦσα καὶ θεωρουμένη·
βλέπω σε, καὶ βλέπεις με, εἶτα κἀγώ σοι
σημεῖον ἐρῶ· χάλκεον τὸ σάνδαλον τῆς
ταρταρούχου, στέμμα, κλείς, κηρύκιον,
ῥόμβος σιδηροῦς καὶ κύων κυάνεος,
κλεῖθρον τρίχωρον, ἐσχάρα πυρουμένη,
σκότος, βυθός, φλόξ· Ταρτάρου σημάντρια
φοβοῦσα Ἐρινῦς δαίμονας τεραστίους,
εἰσῆλθας; ἥκεις; ὀργίσθητι, παρθένε,
τῷ δεῖνα, ἐχθρῷ τῶν ἐν οὐρανῷ θεῶν,
Ἡλίου Ὀσίριδος καὶ συνεύνου Ἴσιδος.
οἷον λέγω σοι, εἴσβαλε εἰς τοῦτον κακόν,
ὅτι οἶδα σὰ τὰ καλὰ καὶ μεγάλα, Κόρη, ὀνόμα-
τα σεμνά, οἷς φωτίζεται οὐρανὸς καὶ γαῖα*

πίνει τὴν δρόσον καὶ κυοφορ<εῖ>,
ἐξ ὧν ὁ κόσμος αὔξεται καὶ λείπεται.
Ευφορβα φορβα· φορβορεου· φορβα
φορβορ φορβορ φορβορ· βορβορφα· ηρφορ·
φορβαϊω· φορβορ φορβορ βοροφ· φορφορ
βορ· φορβορ· αω· ιωη· φορβορφορ· ευφορ
βοφορ· ευοιεω φωθ· ιωφωθ ιωφωθ
φωθιωφ· αωωωθω ωαϊ ιω εωωιω
ἁἁἁ εε ηη ιουυ ωωω ουυυυ αεηιουω
υυυ ἄνασσα, Ἀρκεντεχθα, τῷ κυρίῳ Ὀσί-
ριδι ὁ παραφαίνων θεός, τέλει μοι, Μιχαήλ,
ἀγγέλων ἀρχάγγελε’.
φυλακτήριον τῆς πράξεως· ...